# Ο ΙΑΤΗΡ ΤΟΥ ΜΑΝΟΥΗΛ ΚΟΜΝΗΝΟΥ

## ΔΙΟΡΘΟΥΜΕΝΟΣ ΚΑΙ ΣΥΜΠΛΗΡΟΥΜΕΝΟΣ

---

Ὁ Θεόδωρος Βαλσαμὼν συμπεριέλαβεν εἰς τὴν Ἐξήγησιν τῶν ἱερῶν καὶ θείων κανόνων χρυσόβουλλον λόγον τοῦ αὐτοκράτορος Μανουὴλ Κομνηνοῦ, λεγόμενον Ἰατῆρα *ὡς ἰώμενον τὰ χωλεύοντα ἴσως δικαιώματα τῶν ἁπανταχοῦ ἐκκλησιῶν* καὶ ἀπολυθέντα τῷ 1148. Ἐκεῖθεν δὲ παραλαβόντες ἐξέδωκαν τὸ χρυσόβουλλον τοῦτο πρῶτος μὲν ὁ *E. Bonefidius*[1], εἶτα δ' ὁ *Ἰωάννης Λεουγκλάβιος*[2], κατόπιν ὁ *Γ. Ῥάλλης* καὶ *Π. Ποτλῆς*[3] καὶ τέλος ὁ *Zachariae von Lingenthal*[4].

Τοῦ χρυσοβούλλου τούτου ἀντίγραφον περιέχεται καὶ ἐν φ. $326^{β}$-$327^{β}$ τοῦ Βαροκκικοῦ κώδικος CXXXI τῆς ἐν Ὀξωνίῳ Βοδληιανῆς βιβλιοθήκης, γεγραμμένου ἐπὶ βομβυκίνου χάρτου τὸν δέκατον τέταρτον αἰῶνα. Ἐπειδὴ δὲ ὁ κῶδιξ οὗτος πλὴν διαφόρων ἁμαρτάδων περιέχει καὶ οὐκ ὀλίγας ἀξιολόγους διαφόρους γραφάς, περιλαμβάνει δὲ καὶ συμπλήρωμα ἐν τέλει τοῦ χρυσοβούλλου, λεῖπον ἀπὸ τῶν λοιπῶν ἐκδόσεων, ἐκδίδομεν αὐτὸ καὶ πάλιν κατωτέρω, παρατιθέντες ὑποσελιδίους τὰς διαφόρους γραφὰς τοῦ Βαροκκικοῦ (B), κατ' ἀντιβολὴν πρὸς τὰς παρὰ τῷ Zachariae von Lingenthal (Z).

Ἔχει δὲ τὸ χρυσόβουλλον ὧδε·

[1] Juris Orientalis libri III ab *Enim. Bonefidio digesti*. Ἐν Παρισίοις. 1873. σ. 109.

[2] Juris Graeco-Romani tam canonici quam civilis tomi duo. Ἐν Φραγκοφορτίῳ. 1596. Τόμ. Α' σ. 149.

[3] Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων. Ἀθήνησιν. 1852. Τόμ. Β' σ. 608 κ. ἑ.

[4] Jus Graeco-Romanum. Pars III. Novellae Constitutiones. Ἐν Λειψίᾳ. 1857. σ. 443 κ.ἑ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

## Τὸ χρυσόβουλλον

### *Λόγος ὁ λεγόμενος ἰατὴρ ὃν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις ὁ ἐν εὐσεβεῖ τῇ μνήμῃ γεγονὼς βασιλεὺς κῦρ Μανουὴλ ἐπεβράβευσεν.*

*Παρεξεβλήθη ἀπὸ τῆς ἐναποκειμένης πρωτοτύπου θέσεως τῷ καθ' ἡμᾶς σεκρέτῳ τῶν οἰκειακῶν τῷ κατὰ . . . .*

Ὁ μὲν μετὰ Μωσέα τοῦ ἐκλεκτοῦ λαοῦ ἐκεῖνος στρατηγὸς Ἰησοῦς, τὰ ἱεριχούντεια καθελεῖν ἐπειγόμενος ὀχυρώματα, τοῖς ἱερεῦσι κύκλῳ σαλπίζειν ἐκέλευε καὶ οὕτω παραδόξως τὰς τῶν τειχῶν ἐπάλξεις κατέρριπτε. Τῇ δὲ τοῦ νέου τῷ θεῷ ἐκλεκτοῦ καθηγουμένῃ τούτου λαοῦ βασιλείᾳ μου μετὰ τὸν ἐν βασιλεῦσιν ἐκεῖνον ἄλλον Μωσέα, τοῦ λαοῦ σωτῆρα καὶ ὁδηγόν, τὸν ἀοίδιμον λέγω αὐθέντην τῆς βασιλείας μου καὶ γεννήτορα, ὥσπερ τινὰ τείχη καθελεῖν ἐπειγομένῃ ἱεριχούντεια τὰς τοῦ κοινοῦ τῶν Χριστιανῶν ἐχθροῦ ὀχυρώσεις, τοῦ δυτικοῦ λέγω δράκοντος, τοῦ τῆς σικελικῆς κατατυραννοῦντος γῆς κἀκεῖθεν κατὰ τῆς τῶν Ῥωμαίων ἐπικρατείας λάθρα ἑρπύσαντος, ἀναλόγως οἷα πνευματικάς τινας σάλπιγγας τὰς τῶν τὸν θεὸν ἐξιλεουμένων καθ' ἑκάστην ὑπὲρ ἡμῶν ἀρχιερέων εὐχὰς πρὸς ἐκείνου καθαίρεσιν συνεργούσας ἔχειν ἐδέησεν. Ἀλλὰ καὶ αὐτὸς ὁ θεόπτης Μωσῆς, ὁπηνίκα τῷ Ἀμαλὴκ συνεκρότει τὴν μάχην, ἱερεῦσιν ἑκατέρωθεν στηριζόμενος, οὕτω τοῦτον κατετροποῦτο καὶ ὑπερίσχυε. Κατ'

1-4. *Τὸ χρυσόβουλλον ... εὐσεβεία ... ἐπεβράβευσεν* B : *Ἀπελύθη χρυσόβουλλος λόγος τοῦ κραταιοῦ ἁγίου ἡμῶν βασιλέως κατὰ μῆνα Φεβρουάριον, ἐπινεμήσεως ια' τοῦ ͵ςχν5' ἔτους, ὁ καὶ ἰατὴρ λεγόμενος ὡς ἰώμενος τὰ χωλεύοντα ἴσως δικαιώματα τῶν ἁπανταχοῦ ἐκκλησιῶν, ἐπισκοπῶν δηλονότι καὶ μητροπόλεων καὶ αὐτῆς τῆς μεγάλης ἐκκλησίας. Ὅς καὶ κατὰ ῥῆμα οὑτωσὶ διαλαμβάνει* Z  5-6. *Παρεξεβλήθη . . . . τὸ κατὰ* B : λείπουσι Z  8. *ἱεριχούντεια* Z : *ἱεριχούντ* B  8-9. *κύκλῳ* Z : *ἐκείνοις* B  9. *παραδόξως* Z : *παραδόξς (= παραδόξως)* ἐπιφερομένων ἄνωθεν τῶν βραχυγραφικῶν διορθώσεων ~λ *(= παραδόξων)* καὶ c *(= παραδόξαν)*  10. *τῇ* B ὡς καὶ αἱ πρότεραι ἐκδόσεις : *ἡ* Z  13 (καὶ κατωτέρω). *ὥσπερ τινὰ* Z : *ὥσπέρ τινα* B  13-14. *ἱεριχούντεια* Z : *ἱεριχούντ* B  16. *ἐπικρατείας* Z : *ἐπικρατίας* B  19. *ἔχειν* B : λείπει Z, ὅστις εἶχε προτείνει τὴν προσθήκην αὐτοῦ, μεταβάλλων ἄνευ λόγου καὶ τὸ *ἐδέησεν εἰς δεήσει*  21. *κατετροποῦτο καὶ* Z : *κατετροποῦτ...* τῶν λοιπῶν ὄντων τιλφοθρώτων B

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐκεῖνον οὖν καὶ ἡ βασιλεία μου, τοῦ ἀρχιερατικοῦ δεομένη ὑποστηρίγματος, εἰς τὴν κατὰ τοῦ νέου τούτου Ἀμαλὴκ προκειμένην ἀντιπαράταξιν καὶ ὥσπερ τινὰ στῦλον φωτὸς τοῦ νέου Ἰσραὴλ προηγούμενον καὶ τὰ τούτου κατευθύνοντα διαβήματα, τὰς τούτων ἔχειν εὐχὰς ἐθέλουσα, τὸν παρόντα χρυσόβουλλον λόγον τῇ τε μητρὶ πασῶν τῶν ἐκκλησιῶν, τῇ νέᾳ Σιών, τῷ τῆς ἁγίας Σοφίας ἐνδιαιτήματι, καὶ τοῖς κατὰ τὰς νήσους πάσας καὶ τὴν Ἀνατολὴν καὶ τὴν Δύσιν ἀρχιερεῦσιν ἐπεβράβευσε, τὰς ὑπὲρ τῆς βασιλείας μου τούτων εὐχὰς ἐπὶ πλέον ἐντεῦθεν ἀναρρωννύουσα. Ἀκριβῶς γὰρ οἶδεν ἡ βασιλεία μου ὡς οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ ὡς γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ, ψευδὴς δὲ ἵππος εἰς σωτηρίαν κατὰ τὸν θεῖον φάναι προφήτην καὶ ψαλμογράφον καὶ θεοπάτορα.

Τοιγάρτοι καὶ τὸ ἀπερικλόνητον πάντη περιφυλάττεσθαι θέλουσα, τῇ τε πασῶν προκαθημένῃ ἐκκλησίᾳ καὶ τοῖς μνημονευθεῖσι πᾶσιν ἀρχιερεῦσι τῶν ὁπουδήποτε ἁγίων ἐκκλησιῶν καὶ τὸ ἀσφαλὲς τῶν προσόντων ταύταις δικαιωμάτων ἐπὶ τῇ κατοχῇ αὐτῶν βεβαιότερον καθιστῶσα, προσεπανορθοῦσα δὲ καὶ εἴ τί που χωλεῦον ἴσως ἐστὶν ἐν τοῖς αὐτῶν δικαιώμασι καὶ τῆς ἀκριβείας λειπόμενον, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ εἴ τί που ὀφεῖλον ἐπακολουθῆσαι δικαίωμα πρὸς τὴν ἀσφαλῆ τῶν τοιούτων ἀκινήτων δεσποτείαν, κατοχήν τε καὶ κυριότητα γενέσθαι ἴσως οὐκ ἔφθασεν, αὐτὸν δὴ τὸν παρόντα χρυσόβουλλον λόγον ἰατῆρα ἡ βασιλεία τούτου δὴ τοῦ ἐλλείποντος αὐτοῖς ἐπιδέδωκεν, οἷον ἄρτιον καὶ ὁλομελὲς δεικνύντα τὸ ἐπὶ τούτοις δίκαιον καὶ ἐς τὸ παντελὲς ἀδιάσειστον. Δι' οὗ καὶ βέβαιοί μὲν καὶ ἀσφαλέστερον τίθησι πᾶν προσὸν ταῖς κατ' αὐτοὺς ἁγιωτάταις τοῦ θεοῦ ἐκκλησίαις καὶ αὐτῇ τῇ πασῶν προκαθημένῃ δικαίωμα ἐπὶ τοῖς αὐτῶν ἀκινήτοις, ὁποῖον ἂν καὶ καθέστηκε, κἂν ὁπουδήποτε ταῦτα διάκεινται, καὶ τὸ καλὸν κάλλιον τίθη· τῇ ἐπικρίσει τε καὶ ψήφῳ τῆς

3. *στῦλον* ἔγραψα ; *στύλον* ZB 6. *ἁγίας* B : *τοῦ θεοῦ* Z 7. *τοῖς* Z : *τῆς* B
7-8. *ἀρχιερεῦσιν* Z : *κενὸν ἄγραφον* B 8. *μου* Z : λείπει B 9. *ἐντεῦθεν* B : λείπει Z 13. *περιφυλάττεσθαι* Z : *φυλάττεσθαι* B 14. *ἐκκλησία* B : *ἐκκλησιῶν* Z 15. *ὁπουδήποτε* Z : *ὅπουδήποτε* B 16. *προσόντων* Z : *προσώπων* B *βεβαιότερον* Z : *βεβαιώτερον* B 17 (καὶ κατωτέρω). *τί* Z : *τι* B · 20. *δεσποτείαν* Z : *δεσπο*ᵗ B *κατοχήν* Z : *κατοχὴν* ἐκ τοῦ *κατοχῆν* B *τε* Z : *τὲ* B 23. *δεικνύντα* Z : *δεικνῦντα* B 24. *ἐς* B : *εἰς* Z 25. *πᾶν* Z : λείπει B *αὐτοὺς* Z : *αὐταῖς* Z 26. *πασῶν* B : *τούτων* Z 27. *καὶ* B : λείπει Z *καθέστηκε* Z : *καθέστηκεν* B 28. *ἐπικρίσει* Z : *ἐπιχρίσει* B *τε* Z : *τὲ* B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

βασιλείας μου, πᾶν δὲ ἐν αὐτοῖς ἐν ὁποίοις εἴποι τις θεωρούμενον, εἴτε ἐν χρυσοβούλλοις λόγοις διαφόρων βασιλέων εἴτε ἐν σιγιλλίοις εἴτε ἐν ἁπλαῖς προστάξεσιν εἴτε ἐν λύσεσιν εἴτε ἐν πρακτικοῖς ὑποσκάζον καὶ κατά τι τοῦ ἀκριβοῦς καὶ τῆς ὀφειλομένης ἀκολουθίας λειπόμενον, ἀπό τε βασιλικῶν προσταγμάτων καὶ νόμων ἐπανορθοῖ, καὶ διορίζεται μὴ κατά τι πρόκριμα ἐκ τούτων εἶναι πάσαις ταῖς δηλωθείσαις ἁγιωτάταις ἐκκλησίαις ἐς τὸν αἰῶνα τὸν ἅπαντα, ἀλλὰ τὸ ὑπόσαθρον ἐκεῖνο καὶ ἀσθενὲς εὐτονώτατον εἶναι καὶ ἀνάλωτον πάσῃ δικαιολογίᾳ τοῦ βουλομένου λέγειν τι ὑπὲρ τοῦ δημοσίου, τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου ῥωννύμενον καὶ σφόδρα ἐνδυναμούμενον. Καί, ἵνα ἀπὸ τῶν πολλῶν ὧν ἄν τις ἐννοήσειεν, ὀλίγων τινῶν ἡ βασιλεία μου ἐπιμνησθείη, ἐὰν τυχὸν δωρεὰ αὐτοῖς παροίκων ἄποσος εἴη ἢ μέτρων γῆς ἢ αὐτουργιά τινα ἐκαίνισαν ἐν τοῖς τοιούτοις κτήμασι, τυχὸν μὴ δεδωρημένα αὐτοῖς, ἢ ἐδωρήθησαν μέν, οὐκ ἀνετράπησαν δὲ αἱ περὶ τούτων προστάξεις ἢ ἐπὶ προαφωρισμένοις δεδωρημένοις αὐτοῖς αἱ ἐπὶ προαφωρισμένων προστάξεις οὐκ ἀνετράπησαν ἢ τινα τῶν πορισθέντων αὐτοῖς βασιλικῶν προσταγμάτων οὐδόλως κατεστρώθησαν ἢ κατεστρώθησαν μὲν εἴς τινα τῶν σεκρέτων, οὐ μήν γε καὶ ἐπὶ τοῖς προσφόροις σεκρέτοις, ἢ καταστρωθέντα ἀπώλοντο, ἴσα δὲ τούτων πεπιστωμένα εὑρίσκεται, ἢ πρακτικὰ ὀφείλοντα προβῆναι οὐ προέβησαν ἢ προβάντα οὐ κατεστρώθησαν ἢ ὁρισθέντα γενέσθαι λογίσιμα οὐκ ἐγένοντο ἢ κατά τινα ἴσως ἄλλην ὁποίαν ἄν τις εἴποι αἰτίαν εἴτε κατὰ μέρος εἴτε καὶ καθ' ὁλόκληρον τὰ προσόντα ταῖς πολλάκις διαληφθείσαις ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις καὶ τῇ μητρὶ πασῶν χωλεύουσι δικαιώματα κἀντεῦθεν οὐκ ἔχουσι τὸ ἀπερικλόνητον, κἂν μὴ ῥητῶς ἐνταῦθα πᾶσα ὁποιαδήτις αἰτία ὑποσκάζειν ποιοῦσα τὰ δικαιώματα ἐκπεφώνηται, ἢ ὤφειλον τυχὸν καὶ ἕτερα δικαιώματα προσεπορεχθῆναι αὐτοῖς ἐπὶ τοῖς τοιούτοις ἀκινή-

1. τις ἔγραψα : τίς ΖΒ 2. *ἐν* Ζ : λείπει Β 3-4. *ὑποσκάζον καὶ* Ζ : *ὑποσχάζον* Β 6. *τούτων* Ζ : *τούτου* Ζ 6-7. *πάσαις ταῖς δηλωθήσαις* (ει) Β : *ταῖς δηλωθείσαις πάσαις* Ζ 7. *ἐς* Β : *εἰς* Ζ 8. *ἐκεῖνο* Β : *ἐκείνων* Ζ 9. *τι* ἔγραψα : *τί* Β : *τὶ* Ζ 12. *ἐπιμνησθείη* Ζ : *ἐπιμνησθήσεται* Β 13. *μέτρων* Ζ: *μέτρα* Β *ἢ* Β : λείπει Ζ *αὐτουργιά τινα* Ζ : *αὐτουρ*(γ) *τινὰ* Β 17. *ἤ τινα* Ζ: *ἢ τινὰ* Β 18. *εἴς τινα* Ζ : *εἰς τινὰ* Β 20. *ἴσα* ἔγραψα : ἴσα ΖΒ *εὑρίσκεται* Β : *εὑρίσκονται* Ζ 23. *τις* Ζ : *τίς* Β *εἴποι* Β : *εἴπῃ* Ζ *εἴτε καὶ καθ'* Ζ : *ἢ καθ'* Β 25. *ἔχουσι* Ζ : *ἔχωσι* Β 26-27. *ὑποσκάζειν* Ζ : *ὑποσχάζειν* Β

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοις, ὥς τινων πάντων προβάντων ἐν αὐταῖς· εἰ γὰρ μηδόλως τι δικαίωμα ἐπί τινι τῶν προσόντων αὐταῖς ἀκινήτων κέκτηνται, οὐδέν τι ἀπὸ τοῦ παρόντος χρυσοβούλλου λόγου ὠφεληθήσονται· κατὰ μηδέν τι ταῦτα πάντα καὶ ὅσα ἄν τις ἄλλα εἰς νοῦν λάβοι ποτὲ ὑπὲρ τοῦ δημοσίου ἀγωνιζόμενος καταβλάψαι ποτὲ τὰς τοῦ θεοῦ ἁγίας ἐκκλησίας, τόν τε τῆς τοῦ θεοῦ Σοφίας οἶκον καὶ τὰς λοιπὰς μητροπόλεις, ἀρχιεπισκοπὰς καὶ ἐπισκοπὰς δυνήσεται ἐπὶ τοῖς, ὡς εἴρηται, διαφέρουσιν αὐταῖς ἀκινήτοις ἀφ' οἱωνδήποτε δικαιωμάτων. Εἰ γὰρ μηδέν τι μηδαμῶς δικαίωμα ἐκτήσαντο ἐπί τινων ἴσως τῶν προσόντων αὐταῖς ἀκινήτων, οὐδεμίαν ἀπὸ τοῦ παρόντος χρυσοβούλλου λόγου ὠφέλειαν ἕξουσιν, ὥσπερ οὐδὲ ἐφ' οἷς ἔσχε τὴν κατοχὴν ὁ δημόσιος ἀφ' οἱασδήτινος εὐλόγου αἰτίας μέχρι τῆς σήμερον· ἐπὶ τούτοις γὰρ πᾶσι τὸ ἀκριβὲς παραφυλαχθήσεται.

Εἴ τις οὖν θελήσει διὰ φιλοχρηματίαν ἢ δι' ἑτέραν αἰτίαν τινὰ καταφρονῆσαι τῶν ἐν τῷ παρόντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου διωρισμένων, πρῶτον μὲν τὸ τῆς ἁγίας Τριάδος φέγγος, ὅτε παριστάμεθα τῷ φοβερῷ βήματι, μὴ θεάσαιτο, ἐκπέσοι δὲ καὶ τῆς τῶν Χριστιανῶν μερίδος, ὡς ὁ Ἰούδας τῆς δωδεκάδος, προσεπιτούτοις καὶ τὴν ἀρὰν ἐπισπάσαιτο τῶν ἀπ' αἰῶνος πρωτοτόκων δικαίων ἁγίων καὶ θεοφόρων πατέρων.

Ἐφ' ᾧ καὶ παρεγγυώμεθα καὶ πάντας ἐξασφαλιζόμεθα τοῦ μηδένα τῶν ἁπάντων ἐν οἱῳδήποτε χρόνῳ καθ' οἱονδήποτε τρόπον ἀνατρέψαι, μερικῶς ἢ καθόλου, τὸν παρόντα χρυσόβουλλον λόγον τῆς βασιλείας μου, γεγενημένον κατὰ τὸν Φεβρουάριον μῆνα τῆς ια' ἰνδικτιῶνος τοῦ ,ϛχνϛ' ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβές τε καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ἡ ὑπογραφὴ *Μανουὴλ ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς πορφυρογέννητος καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Κομνηνὸς* καὶ ἡ διὰ χρυσοβούλλου σφραγὶς τῆς ἁγίας αὐτοῦ βασιλείας. Εἶχε καὶ ἔξωθεν ἐν ταῖς δέσεσι τῶν κόλλων τὸ τοῦ *Ἀκροπολίτου Μιχαὴλ* καὶ τὸ *κατεστρώθη τοῦ μεγάλου λογαριαστοῦ μηνὶ Μαΐῳ ἰνδικτιῶνος ια'*

1. *ὥς τινων* Z : *ὡς τινῶν* B *μηδόλως τι* Z : *μὴδόλως τί* B 2. *κέκτηνται* Z : *κέκληνται* B 4. *λάβοι* B : *λάβῃ* Z 5. *ἁγίας* B : *ἁγιωτάτας* Z
8. *οἱωνδήποτε* Z : *οἵων δήποτε* B 9. *ἐκτήσαντο* Z : *ἐκτήσατο* B
11. οὐδὲ Z : λείπει B 16. *πρῶτον* B : πρῶτα Z 19. *δικαίων ἁγίων* B : *ἁγίων δικαίων* Z 21. Ἀπὸ τῶν λέξεων *ἐφ' ᾧ καὶ παρεγγυώμεθα* μέχρι τοῦ κατωτέρω ἐν σ. 326 τέλους λείπουσιν ἐν τῷ Z 22. *οἱῳδήποτε* Z : *οἰδήποτε* B
28-29. *διὰ χρυσοβούλλου* ἔγραψα : *διαχρυσοβούλου* B

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΚΥΡΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

*Ἡ ὑπογραφὴ ὁ ἐπὶ τῶν οἰκειακῶν καὶ νομοφύλαξ Θεόδωρος ὁ Παντεχνής, ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῶν οἰκειακῶν Ἰωάννης ὁ Συμπονόπολος, ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῶν οἰκειακῶν Κωνσταντῖνος ὁ Ἀρτάβασδος, ὁ βασιλικὸς νοτάριος τοῦ σεκρέτου τῶν οἰκειακῶν Ἰωάννης ὁ Λίθετος † Τὸ παρὸν ἴσον τῇ πρωτοτύπῳ σεκρετικῇ παρεκβολῇ ἀντιβαλὼν καὶ κατὰ πάντα ἰσάζον εὑρὼν ὑπέγραψα.*

Τοῦ ἐν μόνῳ τῷ βαροκκικῷ κώδικι εὑρισκομένου συμπληρώματος μόνον τὸ πρῶτον μέρος ἀπὸ τῶν λέξεων *Ἐφ' ᾧ καὶ* παρεγγυώμεθα μέχρι τοῦ *εὐσεβές τε καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος* ἀνήκει εἰς αὐτὸ τὸ κείμενον τοῦ χρυσοβούλλου, ὅπερ ἐντεῦθεν ἀποδεικνύεται ὅτι κολοβὸν παρελήφθη εἰς τὴν Ἐξήγησιν τοῦ Βαλσαμῶνος, ἐξ ἧς αἱ μέχρι τοῦδε ἐκδόσεις. Τὰ δὲ λοιπὰ εἶνε σημειώματα περὶ τοῦ πρωτοτύπου χρυσοβούλλου, οἷα καὶ ἄλλα ἔχομεν ἐν ἀντιγράφοις ἐπ' ἴσης πλήρη ἢ καὶ ἀτελέστερα[1]. Περὶ τοῦ τίνα δὲ σκοπὸν καὶ ἔννοιαν εἶχεν ἡ *ἐν ταῖς θέσεσι τῶν κόλλων* γραφὴ τοῦ ὀνόματος τοῦ οἰκείου ἄρχοντος, ὡς ἐπὶ τοῦ προκειμένου ἡ τοῦ Μιχαὴλ Ἀκροπολίτου, ἴδε ὅσα ἐγράψαμεν ἄλλοτε ἐν τῷ Δελτίῳ τῆς Ἱστορικῆς καὶ ἐθνολογικῆς ἑταιρείας[2] καὶ ἐν τῷ Νέῳ Ἑλληνομνήμονι[3]. Ἦτο δὲ συνηθέστερον τοιοῦτος ἄρχων ὁ λογοθέτης τοῦ δρόμου. Δὲν περιωρίζετο δὲ ἡ τοιαύτη ἐγγραφὴ μεγάλου μεγαλωστὶ τοῦ ὀνόματος τοῦ οἰκείου ἄρχοντος ἐν τοῖς κολλήμασι τῶν ἀπαρτιζόντων μόνα αὐτοκρατορικὰ ἔγγραφα τεμαχίων περγαμηνῆς πρὸς ἀποφυγὴν ἀντικαταστάσεως τυχὸν τῶν ἐν τῷ μέσῳ κειμένων, ἀλλὰ τὸ ἔθος ἐπεξετείνετο καὶ εἰς ἔγγραφα μητροπολι-

3. *Συμπονόπολος* ἔγραψα : *συμπονό*^πλ B 5. *ἴσον* ἔγραψα: *ἴσον* Z 6. *κατὰ πάντα* ἔγραψα : *καταπάντα* B

[1] Πρβλ. *Zachariae von Lingenthal* ἔνθ' ἀν. σ. 349, 365, 411, 430, 442, 457, 468, 476, 482, 485, 571, 595, 623, 635, 641, 700.

[2] Τόμ. Α' σ. 115 κ.ἑ.

[3] Τόμ. ΙΑ' σ. 102.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῶν παρέχοντα δικαιώματα ἢ χορηγίας. Οὕτως ἐν ἀντιγράφῳ ἐκδοτηρίου τινὸς ἐγγράφου τοῦ μητροπολίτου Σμύρνης Ἰωάννου, δι' οὗ παρεχωρεῖτο εἰς τὴν μονὴν τῶν Λέμβων ἐν ἔτει 1274 ὡς εἰς μετόχιον *ὁ ναὸς καὶ τὰ πράγματα τοῦ Ἁγίου Γεωργίου τοῦ εἰς τὰ Σκουρβουλλᾶ* προςτίθενται τάδε· *Ὡσαύτως εἶχε καὶ ὄπισθεν ὡς ἔθος καὶ διὰ τὸ ἀμφίβολον τῆς κολλήσεως τοῦ χάρτου* ***διὰ τοῦ σακελλίου τῆς ἁγιωτάτης μητροπόλεως Σμύρνης, Ἀλεξίου τοῦ Μαρούλλη***[1].

Ἐκ δὲ τῶν εἰς τὸν Ἰατῆρα τοῦ Μιχαὴλ ὑπογεγραμμένων γνωστὸς εἶνε εἰς ἡμᾶς καὶ ἄλλοθεν ὁ Θεόδωρος Παντεχνής, ὅςτις καὶ ἐπὶ Ἀλεξίου Β΄ τοῦ υἱοῦ Μανουὴλ Κομνηνοῦ ἐξηκολούθει διατηρῶν τὸ ἀξίωμα τοῦ ἐπὶ τοῦ σεκρέτου τῶν οἰκειακῶν, ὢν ἅμα ἔπαρχος τῆς πόλεως καὶ οἰκῶν *περικαλλὲς οἴκημα* κατὰ τὴν μαρτυρίαν Νικήτα τοῦ Χωνιάτου[2]. Τὸν Θεόδωρον Παντεχνῆν εὑρίσκομεν παρεκβαλόντα καὶ πιστώσαντα ὡς κοιαίστωρα καὶ νομοφύλακα τῷ 1158 τὸ χάριν τῆς ἐν Κωνσταντινουπόλει μονῆς τοῦ Ἁγίου Μάμαντος ὑπὸ τοῦ ἡγουμένου Ἀθανασίου Φιλανθρωπηνοῦ συνταχθὲν κτητορικὸν Τυπικὸν τὸ περισωθὲν ἐν τῷ Παρισιακῷ κώδικι Supplement grec 92[3]. Βλέπομεν δὲ τὸν Παντεχνῆν ὑπὸ τὴν ἰδιότητα νομοφύλακος καὶ ἐπὶ τῶν οἰκειακῶν μετασχόντα καὶ τῶν θεολογικῶν συζητήσεων, ἃς προσεκάλεσαν κυρίως αἱ θεωρίαι τοῦ πατριάρχου Κοσμᾶ καὶ τοῦ Σωτηρίχου καὶ ὁ ἐπακολουθήσας εἰς αὐτὰς ἐκκλησιαστικὸς σάλος, καὶ αἵτινες ἀπετέλεσαν τὸ θέμα τῶν ἐν Κωνσταντινουπόλει τοπικῶν συνόδων τῶν ἐτῶν 1156, 1157

[1] *Miklosich-Müller* Acta et Diplomata Τόμ. Δ' σ. 112.

[2] Ἐκδ. Βόννης σ. 306,7.

[3] Ἐν φ. 94α. Ταῦτα κατὰ τὰ ὑπ' ἐμοῦ τῷ 1876 ληφθέντα ἐκ τοῦ κώδικος σημειώματα καὶ ἀντίγραφα. Ἔκτοτε τὸ Τυπικὸν τοῦ Ἁγίου Μάμαντος ἐξεδόθη ἑλληνιστὶ καὶ ῥωσιστὶ ὑπὸ τοῦ κ. *Θεοδώρου Οὐσπένσκη* τῷ 1892 ἐν τῷ βυζαντικῷ τμήματι τῆς Ἐπετηρίδος τοῦ Πανεπιστημίου τῆς Ὀδησσοῦ σ. 25 κ.ἑ. Ἴδε σ. 92. Πρβλ. *Dmitrievskij* Typica. Ἐν Κιέβῳ. 1895 σ. 714.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ 1166[1] καὶ τῆς συνελεύσεως τοῦ 1170[2]. Ἔχομεν δὲ πρὸς αὐτὸν καὶ ἐπιστολὴν τοῦ Γεωργίου Τορνίκη, σωζομένην ἐν φ. 11α κ. ἑ. τοῦ Βιενναίου Phil. gr. CCCXXI[3]. Ἦτο δὲ ὁ Θεόδωρος Παντεχνῆς πιθανῶς συγγενὴς τοῦ *κορυφαίου* ἰατροῦ τοῦ Ἀλεξίου Α' Κομνηνοῦ, τοῦ Μιχαὴλ Παντεχνῆ[4], οὗ ἔχομεν σωζομένην σφραγῖδα, ἐν ᾗ βλέπομεν αὐτὸν τετιμημένον καὶ διὰ τοῦ αὐλικοῦ ἀξιώματος προέδρου[5] καὶ εἰς ὃν σώζεται ἀνέκδοτος *μονῳδία* ἐπὶ τῷ θανάτῳ ἔν τινι κώδικι τῆς Βοδληιανῆς βιβλιοθήκης τοῦ Ὀξωνίου[6].

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

---

[1] ***Νικήτα Χωνιάτου*** Θησαυρὸς ὀρθοδοξίας ἐν τῇ τοῦ *Migne* Patrologia graeca Τόμ. ΡΜ' σ. 148, 177, 252. Πρβλ. *F. Chalandon* Jean Comnène et Manuel I Comnène. Ἐν Παρισίοις. 1902 σ. 541, 642, 650.

[2] *Louis Petit* ἐν Βυζαντινοῖς Χρονικοῖς Τόμ. ΙΑ' σ. 469. Πρβλ. *Chalandon* ἔνθ' ἀν. σ. 651.

[3] Νέου Ἑλληνομνήμονος Τόμ. ΙΓ' σ. 6.

[4] ***Ἄννης Κομνηνῆς*** ἐκδ. Βόννης σ. 367, 11 καὶ 375, 1.

[5] *Schlumberger* Sigillographie de l'empire Byzantin. Ἐν Παρισίοις. 1884 σ. 687.

[6] Βαροκκιανὸς κῶδιξ 131 φ. 231β κ. ἑ. Ἴδε *Coxe* Catalogi codicum manuscriptorum Bibliothecae Bodleianae pars prima. Ἐν Ὀξωνίῳ. 1853 σ. 220.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006